Οἶδα μέντοι.] ὅτι καὶ τῷ ὀπῷ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. Οἱ δικασταί.] οἱ ἡλιασταί. τὸ μέγα δὲ δικαστήριον ἐν τῇ Ἀττικῇ, Ἡλιαία. καὶ οἱ δικασταὶ Ἡλιασταί. Κόπριος ἀνήρ.] Σ. ὡς ἀπὸ δήμου. λέγει δὲ τὸν κοπρολόγον. ἢ κηπουρὸς, παρὰ τὴν κόπρον. Ἄλλως. Κύπρος, νῆσος τῆς Ἀττικῆς, ὅθεν τὸ ἐθνικὸν Κύπριος. παίζει δὲ ἐν τῇ τούτων τῶν λέξεων ὁ-

A μοιότητι. Πυῤῥάνδρου.] ἀπὸ τοῦ πυῤῥίου ἔπαιξε τὸ ὄνομα. ἦν δὲ οὗτος ὁ Πυῤῥανδρος πονηρὸς καὶ συκοφάντης. βωμολοχεύμασι δὲ κολακεύμασιν ἢ ἀπάταις. βωμολόχοι δέ εἰσιν οἱ περὶ τοὺς βωμοὺς λοχῶντες καὶ κρυφίως ὑποκαθήμενοι, ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα. τὸ τὸ δ' ἡμῖν πλεονάκις ἴσως τοῦ δέοντος εἰρημένα θεὸν δὲ τὴν Ἀθηνᾶν ἀκουστέον.

Κλ. Οἵοισί μ' ὦ πόνηρε βωμολοχεύμασιν ταράττεις;
Αλ. Ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείᾳ.
Κλ. Ἀλλ' οὔ με νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν,
Ὦ δῆμε, μηδὲν δρῶντι, μισθοῦ τρύβλιον ῥοφῆσαι.
Αλ. Ἐγὼ δὲ κυλίχνιόν τέ σοι, καὶ φάρμακον δίδωμι,
Τἀν τοῖσιν ἀντικνημίοισιν ἑλκύδρια περιαλείφειν.
Κλ. Ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων, νέον ποιήσω.
Αλ. Ἰδοὺ δέχου κέρκον λαγὼ, τὼ 'φθαλμιδίω περιψῆν.
Κλ. Ἀπομυξάμενος, ὦ δῆμ', ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.

B CL. *Ah quibus insultas mihi scurrilitatibus, sceleste?*
AG. *Dea Pallas certè iussit, ut te vincam vanitate.*
CL. *Non vinces. Ego enim affirmo tibi, mi popule, me daturum*
*Etiam ocioso, ut ollam mercedis sorbere possis.*
AG. *At ego do iam tibi pyxidem, cum unguento, ut tibiarum* C
*Vlcera circùm ungas.* CL. *at ego canos mihi eligens capillos,*
*Iuuenem te faciam.* AG. *hem cape sis leporis hanc caudam, atque ocellos*
*Absterge.* CL. *ô popule, ubi ego emunxi, tu in caput absterge meum.*

Σχόλια. Μισθοῦ τρύβλιον.] ὀξύβαφον. ἀντὶ τοῦ εἰπεῖν ὀπτείου. ἢ ἄλλου τινὸς προσφαγίου, μισθοῦ εἶπε διὰ τὸ δικαστικὸν μισθόν. Κυλίχνιον.] ἔκπωμα. ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια. ἐν οἷς προσβάλλουσι τὰ πάτματα. Κέρκον.] τὴν οὐράν. ἁπαλὸν δὲ καὶ τρυφερὸν τὸ τοῦ λαγοῦ ἔρεον. ὥστε ἀντὶ σπόγγου χρήσασθαι διὰ τὸ ἁπαλὸν εἶναι, ὥστε τὰς λήμας περιψῆν.
Bisetus. Λαγὼ] ἴσως λαγὼ χαπλέον. Εὐστάθιος. λαγὼς, λαγὼ, ἀττικῶς. λαγὸς δὲ λαγοῦ κοινῶς, κατὰ τὴν ἀρχαίαν χρῆσιν. ἀλλαχοῦ δὲ ἰωνικῶς μὲν διὰ τοῦ ω μεγά-

D λου. λαγὸς δὲ κοινῶς διὰ τοῦ ο μικροῦ. παρὰ τὸ λάω, τὸ βλέπω.
Σχόλια. Περιψῆν.] ἀντὶ τοῦ καταμάσσειν. ἀποσπογγίζειν. φιλονεικεῖ δὲ ἕκαστος ὑπερβαλεῖν τοῦ δωρεαῖς.
Bisetus. Ἀπομυξάμενος] Εὐστάθιος. ἀπομύξαι τινὰ, τὸ ἐξαπατῆσαι ὡς εὐήθη, ὃς ἐκ τοῦ μύξῃ καταῤῥεῖσθαι χαρακτηρίζεται. ὁ αὐτὸς. ἀπομύσσεσθαι, τὸ τὴν μύξαν ἐκμάσσειν. μύξα δὲ, τὸ ἐκ μυκτήρων καταῤῥέον περίττωμα. ὅθεν καὶ ὁ μυκτὴρ, καὶ μύξα λύχνου ὁμωνύμως, τὸ τοῦ ἐλλυχνίου περίττωμα, ὃ καὶ μύκης ὁμωνύμως τῷ ἐκ E γῆς φυομένῳ λέγεται.

Δίμετροι Ἰαμβικοί.

Bisetus. Διπλῆ, καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος κώλων λ'.

Αλ. Ἐμοῦ μὲν οὖν, ἐμοῦ μὲν οὖν.
Κλ. Ἐγώ σε ποιήσω τριηραρχεῖν, ἀναλίσκοντα τῶν
Σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ', εἰς ἣν ἀναλῶν οὐκ ἐφέξεις, οὐδὲ ναυπηγούμενος.
Διαμηχανήσομαί θ', ὅπως
Ἂν ἱστίον σαπρὸν λάβῃς.
Χο. Ἀνὴρ παφλάζει, παῦε, παῦ'
Ὑπερζέων, ὑφελκτέον
Δὲ τῶν ξύλων, ἀπαρυστέον
Τε τῶν ἀπειλῶν ταυτηί.
Κλ. Δώσεις ἐμοὶ καλὴν δίκην.

Dimetri Iambici.

AG. *Imò in meum caput, in meum.*
CL. *Ego faxo, ut instructam tuis*
F *Habeas triremem impendiis:*
*Nauémque veterem compares:*
*In qua reficienda haud queas*
*Perferre sumtus: postea*
*Excogitabo, ut putridum*
*In naui velum surrigas.*
CH. *Homo hic furenti ira æstuat:*
*Seda feruorem, seda, & foco*
*Ligna aufer: & cohibeas minas.*
G CL. *Pœnam dabis pulcrè mihi,*

Σχόλια. Ἐμοῦ μὲν οὖν.] διπλῆ καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος τῶν ὑποκειμένων κώλων τριάκοντα διμέτρων ἀκαταλήκτων πλὴν τοῦ παρατελεύτου μονομέτρου συνήθως καὶ τοῦ τελευταίου ἐφθημιμεροῦς. ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος.

Τριηραρχεῖν.] ἀπειλεῖ λειτουργίαν αὐτῷ. λειτουργία γὰρ παρὰ Ἀθηναίοις. δαπανηρὸν δὲ τὸ τριηραρχεῖν. ἔδει γὰρ τὴν τριήρη, πάντα ἔχειν πρὸς τὸν πόλεμον εὐπρεπῆ ἅπερ παρεσκεύαζεν, ὁ τὴν λειτουργίαν ταύτην προσκληθείς. ἄλλως. ἐπειδὴ οἱ στρατηγοὶ εἴ τινα εἶχον ἐχθρὸν,